# Burton & Goodspeed # 40: On Judging

| Matthew 7:1-6 | Luke 6:37-42 |
| --- | --- |
| **Matthew 7:1** | **Luke 6:37** |
| Μὴ κρίνετε, | Καὶ μὴ κρίνετε, |
| ἵνα μὴ κριθῆτε· | καὶ οὐ μὴ κριθῆτε· |
| | καὶ μὴ καταδικάζετε, καὶ οὐ |
| | μὴ καταδικασθῆτε. ἀπολύετε, |
| | καὶ ἀπολυθήσεσθε· |
| **2** ἐν ᾧ γὰρ κρίματι κρίνετε | |
| κριθήσεσθε, | |
| | **38** δίδοτε, καὶ δοθήσεται ὑμῖν· μέτρον |
| | καλὸν πεπιεσμένον σεσαλευμένον |
| | ὑπερεκχυννόμενον δώσουσιν εἰς τὸν |
| | κόλπον ὑμῶν· |
| καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε | ᾧ γὰρ μέτρῳ μετρεῖτε |
| μετρηθήσεται ὑμῖν. | ἀντιμετρηθήσεται ὑμῖν. |
| | **39** Εἶπεν δὲ καὶ παραβολὴν αὐτοῖς· Μήτι |
| | δύναται τυφλὸς τυφλὸν ὁδηγεῖν; οὐχὶ |
| | ἀμφότεροι εἰς βόθυνον ἐμπεσοῦνται; |
| | **40** οὐκ ἔστιν μαθητὴς ὑπὲρ τὸν |
| | διδάσκαλον· κατηρτισμένος δὲ πᾶς ἔσται |
| | ὡς ὁ διδάσκαλος αὐτοῦ. |
| **3** τί δὲ βλέπεις τὸ κάρφος | **41** Τί δὲ βλέπεις τὸ κάρφος |

| | |
|---|---|
| τὸ ἐν τῷ ὀφθαλμῷ | τὸ ἐν τῷ ὀφθαλμῷ |
| τοῦ ἀδελφοῦ σου, | τοῦ ἀδελφοῦ σου, |
| τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ | τὴν δὲ δοκὸν τὴν ἐν τῷ ἰδίῳ |
| δοκὸν οὐ κατανοεῖς; | ὀφθαλμῷ οὐ κατανοεῖς; |
| **4** ἢ πῶς ἐρεῖς | **42** πῶς δύνασαι λέγειν |
| τῷ ἀδελφῷ σου, | τῷ ἀδελφῷ σου, Ἀδελφέ, |
| Ἄφες ἐκβάλω τὸ κάρφος | ἄφες ἐκβάλω τὸ κάρφος |
| ἐκ τοῦ ὀφθαλμοῦ σου, | τὸ ἐν τῷ ὀφθαλμῷ σου, |
| καὶ ἰδοὺ ἡ δοκὸς ἐν τῷ | αὐτὸς τὴν ἐν τῷ |
| ὀφθαλμῷ σοῦ; | ὀφθαλμῷ σοῦ δοκὸν οὐ βλέπων; |
| **5** ὑποκριτά, ἔκβαλε πρῶτον | ὑποκριτά, ἔκβαλε πρῶτον |
| ἐκ τοῦ ὀφθαλμοῦ σοῦ τὴν δοκόν, | τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σοῦ, |
| καὶ τότε διαβλέψεις | καὶ τότε διαβλέψεις |
| ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ | τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ |
| ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου. | τοῦ ἀδελφοῦ σου ἐκβαλεῖν. |
| **6** Μὴ δῶτε τὸ ἅγιον τοῖς κυσὶν μηδὲ | |
| βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν | |
| τῶν χοίρων, μήποτε καταπατήσουσιν | |
| αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν καὶ | |
| στραφέντες ῥήξωσιν ὑμᾶς. | |

Matthew: 116 – 9 = 107 Luke: 144 – 9 = 135 Identical: 106/242 = 43.80%